### Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ἀνοίξας τοὺς θείους καταρράκτας
σοφίας καὶ γνώσεως τῆς σῆς,
πᾶσαν τὴν γῆν ἐπήρδευσας
θεολογῶν ὀρθότατα
τὴν τοῦ ἁγίου πνεύματος
ἐκ τοῦ πατρὸς μόνου ὕπαρξιν.
Ὁ ζῆλος τοῦ οἴκου τοῦ κυρίου,
ὁ ζῆλος δογμάτων πατρικῶν
τὴν ἱερὰν καρδίαν σου
περιλαβὼν ἐθέρμανε
καὶ τὴν τιμίαν γλῶττάν σου
πρὸς καινοτόμους ἐστόμωσε.
Μεγίστους ἀγῶνας καὶ κινδύνους
εὐψύχως, τρισμάκαρ, ὑποστάς,
τὴν ἀρετὴν ἑλόμενος
καὶ πατρικὴν εὐσέβειαν,
μεγίστην καὶ τὴν εὔκλειαν
ἐν οὐρανοῖς νῦν κεκλήρωσαι.
Ὁ μέγας λαμπτὴρ τοῖς ἐν πελάγει,
ὁ μέγας ἐν κόσμῳ ζῶν φωστήρ,
φῶς τὸ γλυκὺ καὶ πάντερπνον,
ἅλας τῆς γῆς τὸ νόστιμον,
ξύλον τῆς θείας γνώσεως
ὁ θαυμαστὸς Μάρκος στέφεται.

### Θεοτοκίον.

Γηράσασαν φύσιν τῶν ἀνθρώπων
ὡς πάντων τεκοῦσα ποιητήν,
ὑπὲρ τῶν ὅλων ἄνθρωπον
ὑπερφυῶς γενόμενον,
τὸν κατὰ φύσιν ἄϋλον
σύ, θεοτόκε, ἐκαίνισας.

### Κάθισμα· Τὴν σοφίαν τοῦ λόγου.

Περιπτὰς τὸν λειμῶνα τὸν ἱερὸν
καὶ παράδεισον ὄντως τὸν εὐανθῆ
ὥσπερ τις μελισσα τῶν γραφων τῶν τοῦ πνεύματος
καὶ σεπτῶν πατέρων τῶν πρώτων τῆς πίστεως
θεμελίων κηρύκων

36. τις γὰρ A.